eul_wid: mty-aa

*Ἀθηνόδωρος Κορδυλίων* · Athenodorus of Tarsus Cordylion

# On Tarsus and Historical Figures

*Ἀποσπάσματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινὴ φιλοσοφική* Philosophical Koine
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Πραγματεία* Treatise
**Affiliation:** Stoic

**ΠΕΡΙ ΤΑΡΣΟΥ ΠΑΤΡΙΔΟΣ. Steph.**

1 Byz.: Ἀγχιάλη, πόλις Κιλικίας, παραθαλασσία τῇ Τάρσῳ καὶ Ζεφυρίῳ· ἔστι δὲ κτίσμα Ἀγχιάλης τῆς Ἰαπετοῦ θυγατρὸς, ὡς Ἀθηνόδωρος Περὶ τῆς αὐτοῦ πατρίδος γράφων, καὶ παρατιθεὶς Διόδωρον τὸν γραμματικὸν συμφωνοῦντα Πτολεμαίῳ βασιλεῖ. «Γίνεται δ' Ἰαπετοῦ θυγάτηρ Ἀγχιάλη, καὶ κτίζει πόλιν Ἀγχιάλην [πρὸς] Ἀγχιαλέα τὸν παρακείμενον ποταμόν. Γεννᾷ δ' υἱὸν Κύδνον, ἀφ' οὗ ποταμὸς Κύδνος ἐν Ταρσῷ· ὁ δὲ Κύδνος υἱὸν Παρθένιον, ἀφ' οὗ ἡ πόλις μετωνομάσθη Παρθενία. Μεταπεσόντος δὲ τοῦ ὀνόματος, Τάρσος ἐκλήθη.» ΠΡΟΣ ΟΚΤΑΟΥΙΑΝ.

2 Plutarch. Poplicola 17: Τοῦτον τὸν ἄνδρα Μούκιον ὁμοῦ τι πάντων καὶ Σκαιόλαν καλούντων, Ἀθηνόδωρος ὁ Σάνδωνος ἐν τῷ πρὸς Ὀκταουΐαν τὴν Καίσαρος ἀδελφὴν καὶ Ὀψίγονον ὠνομάσθαι φησίν. Strabo XVI: Βασιλεύεται μὲν οὖν (sc.

3 ἡ Πέτρα) ὑπό τινος ἀεὶ τῶν ἐκ τοῦ βασιλικοῦ γένους· ἔχει δ' ὁ βασιλεὺς ἐπίτροπον, τῶν ἑταίρων τινὰ καλούμενον ἀδελφόν· σφόδρα δ' εὐνομεῖται. Γενόμενος γοῦν παρὰ τοῖς Πετραίοις Ἀθηνόδωρος, ἀνὴρ φιλόσοφος καὶ ἡμῖν ἑταῖρος, διηγεῖτο θαυμάζων. Εὑρεῖν γὰρ ἐπιδημοῦντας ἔφη πολλοὺς τῶν Ῥωμαίων, πολλοὺς δὲ καὶ τῶν ἄλλων ξένων· τοὺς μὲν οὖν ξένους ὁρᾶν κρινομένους πολλάκις, καὶ πρὸς τοὺς ἀλλήλους καὶ πρὸς τοὺς ἐπιχωρίους· τῶν δ' ἐπιχωρίων οὐδένας ἀλλήλοις ἐγκαλοῦντας, ἀλλὰ τὴν πᾶσαν εἰρήνην ἄγοντας πρὸς ἑαυτούς. Clemens Alexandr.

4a Protrept.: Οἱ μὲν γὰρ αὐτὸν (τὸν Αἰγύπτιον Σάραπιν) ἱστοροῦσι χαριστήριον ὑπὸ Σινωπέων Πτολεμαίῳ τῷ Φιλαδέλφῳ τῷ Αἰγυπτίων πεμφθῆναι βασιλεῖ, ὃς λιμῷ τρυχομένους αὐτοὺς ἀπ' Αἰγύπτου μεταπεμψάμενος σῖτον ἀνεκτήσατο· εἶναι δὲ τὸ ξόανον τοῦτο ἄγαλμα Πλούτωνος, ὃ δεξάμενος ὁ Πτολεμαῖος τὸν ἀνδριάντα καθίδρυσεν ἐπὶ τῆς ἄκρας, ἣν νῦν Ῥακῶτιν καλοῦσιν, ἔνθα καὶ τὸ ἱερὸν τετίμηται τοῦ Σαράπιδος, γειτνιᾷ δὲ τοῖς τόποις τὸ χωρίον (?). Βλίστιχιν δὲ τὴν παλλακίδα τελευτήσασαν ἐν Κανώβῳ μεταγαγὼν ὁ Πτολεμαῖος ἔθαψεν ὑπὸ τὸν προδεδηλωμένον σηκόν. Ἄλλοι δέ φασιν Ποντικὸν εἶναι βρέτας τὸν Σάραπιν, μετῆχθαι δὲ εἰς Ἀλεξάνδρειαν μετὰ τιμῆς πανηγυρικῆς. Ἰσίδωρος μόνος παρὰ Σελευκέων τῶν πρὸς Ἀντιόχειαν τὸ ἄγαλμα μεταχθῆναι λέγει, ἐν σιτοδείᾳ καὶ αὐτῶν γενομένων καὶ ὑπὸ Πτολεμαίου

διατραφέντων. Ἀλλ᾽ ὅ γε Ἀθηνόδωρος ὁ τοῦ Σάνδωνος ἀρχαΐζειν τὸν Σάραπιν βουληθεὶς οὐκ οἶδ᾽ ὅπως περιέπεσεν, ἐλέγξας αὐτὸν ἄγαλμα εἶναι γενητόν. Σέσωστρίν φησι τὸν Αἰγύπτιον βασιλέα τὰ πλεῖστα τῶν παρ᾽ Ἕλλησι παραστησάμενον ἐθνῶν, ἐπανελθόντα εἰς Αἴγυπτον ἐπαγαγέσθαι τεχνίτας ἱκανούς· τὸν οὖν Ὄσιριν τὸν προπάτορα τὸν αὐτοῦ δαιδαλθῆναι ἐκέλευσεν αὐτὸς πολυτελῶς· κατασκευάζει δὲ αὐτὸν Βρύαξις ὁ δημιουργὸς, οὐχ ὁ Ἀθηναῖος, ἄλλος δέ τις ὁμώνυμος ἐκείνῳ τῷ Βρυάξιδι· ὃς ὕλῃ κατακέχρηται εἰς δημιουργίαν μικτῇ καὶ ποικίλῃ. Ῥίνημα γὰρ χρυσοῦ ἦν αὐτῷ καὶ ἀργύρου, χαλκοῦ τε καὶ σιδήρου καὶ μολύβδου, πρὸς δὲ καὶ κασσιτέρου, λίθων δὲ Αἰγυπτίων ἐνέδει οὐδὲ εἷς, σαπφείρου καὶ αἱματίτου θραύσματα σμαράγδου τε, ἀλλὰ καὶ τοπαζίου. Λεάνας οὖν τὰ πάντα καὶ ἀναμίξας ἔχρωσε κυάνῳ, οὗ δὴ χάριν μελάντερον τὸ χρῶμα τοῦ ἀγάλματος, καὶ τῷ ἐκ τῆς Ὀσίριδος καὶ τοῦ Ἄπιος κηδείας ὑπολελειμμένῳ φαρμάκῳ φυράσας τὰ πάντα διέπλασεν τὸν Σάραπιν· οὗ καὶ τοὔνομα αἰνίττεται τὴν κοινωνίαν τῆς κηδείας καὶ τὴν ἐκ τῆς ταφῆς δημιουργίαν, σύνθετον ἀπό τε Ὀσίριδος καὶ Ἄπιος γενόμενον Ὀσίραπις. Eustathius ad Dionys. [35]

4b v. 215: Γαιτοῦλοι, ἔθνος μέγιστον Λιβυκόν· τούτους Ἀθηνόδωρος Γαιτουλίους λέγει. Strabo I: Ἡμεῖς δὲ τὸν μὲν πλείω λόγον περὶ τοῦ Ὠκεανοῦ καὶ τῶν πλημμυρίδων εἰς Ποσειδώνιον ἀναβαλλόμεθα καὶ Ἀθηνόδωρο ν , ἱκανῶς διακρατήσαντας τὸν περὶ τούτων λόγον.

5b Idem I: Περὶ μὲν οὖν τῶν πλημμυρίδων καὶ τῶν ἀμπώτεων εἰρήκασιν ἱκανῶς Ποσειδώνιός τε καὶ Ἀθηνόδωρος. Idem III: Ὥσπερ Ἀθηνόδωρός φησιν, εἰσπνοῇ τε καὶ ἐκπνοῇ τὸ συμβαῖνον περὶ τὰς πλημμυρίδας καὶ περὶ τὰς ἀμπώτεις ἔοικεν.